Ακαδημία Αθηνών / Academy of Athens

*λασσ(α) ὕδατος, π η γ ὴ δ' ἀνέμοιο* **2.** Πηγαῖο ὕδωρ/νάμα, spring water/spring, 'Εμπεδοκλῆς 3.2 *ἐκ δ' ὁσίων στομάτων καθαρὴν ὀχετεύσατε π η γ ή ν.*

**πηγνύναι.** Πλάσσω/συγκροτῶ, fashion/construct, 'Εμπεδοκλῆς 86 *ἐξ ὧν ὄμματ' ἔ π η ξ ε ν ἀτειρέα δῖ' 'Αφροδίτη.* || **πήγνυσθαι 1.** Πλάσσομαι/συμπήγνυμαι, be formed/be constructed, 'Εμπεδοκλῆς 15.4 *πρὶν δὲ π ά γ ε ν τε βροτοὶ καὶ ⟨ἐπεὶ⟩ λύθεν, οὐδὲν ἄρ' εἰσιν* 75.1 *τῶν δ' ὅσ' ἔσω μὲν πυκνά, τὰ δ' ἔκτοθι μανὰ π έ π η γ ε* 107.1 *ἐκ τούτων ⟨γὰρ⟩ πάντα π ε π ή γ α σ ι ν ἁρμοσθέντα* **2.** Πήζω/στερεοποιοῦμαι, congeal/be solidified, 'Εμπεδοκλῆς 56 *ἅλς ἐ π ά γ η ῥιπῇσιν ἐωσμένος ἠελίοιο.* Πρβλ. *συμπήγνυσθαι.*

**πημαίνειν** (συνών. *βλάπτειν*, ἀντίθ. *ὠφελεῖν*). Προξενῶ μεγάλη βλάβη/κακουργῶ, cause great injury/commit a crime, Δημόκριτος 258 *κτείνειν χρὴ τὰ πημαίνοντα παρὰ δίκην πάντα περὶ παντός.*

**πήρωσις.** 'Αναπηρία/βιολογικὴ ἀδυναμία, physical disability/biological weakness, Δημόκριτος 296 *γῆρας ὁλόκληρός ἐστι π ή ρ ω σ ι ς· πάντ' ἔχει καὶ πᾶσιν ἐνδεῖ.*

**πιαίνειν.** Παχύνω/πλουτίζω, fatten/enrich, Ξενοφάνης 2.22 *οὐ γὰρ π ι α ί ν ε ι ταῦτα μυχοὺς πόλεως.*

**πίειρα** (γῆ). Λιπαρὴ (γῆ)/εὔφορη, fat (earth)/fertile, Μενέστωρ 6 ἡ δὲ *π ί ε ι ρ α (*sc. *γῆ)* πάμπαν οὐδενὶ ξυμφέρει φυτῷ.

**πικρός** (ἀντίθ. *γλυκύς*). Πικρός, bitter, 'Εμπεδοκλῆς 90.1 *ὣς γλυκὺ μὲν γλυκὺ μάρπτε, π ι κ ρ ὸ ν δ' ἐπὶ π ι κ ρ ὸ ν ὄρουσεν, ὀξὺ δ' ἐπ' ὀξὺ ἔβη, δαερὸν δ' ἐποχεῖτο δαηρῷ* Δημόκριτος 9 *νόμῳ ... γλυκὺ ... νόμῳ π ι κ ρ ὸ ν* 125 *νόμῳ χροιή, νόμῳ γλυκύ, νόμῳ π ι κ ρ ὸ ν ... ἐτεῇ δ' ἄτομα καὶ κενόν.*

**πίμπλασθαι.** Πληροῦμαι/γεμίζω, be filled/fill, Παρμενίδης 1.13 *ἔνθα πύλαι Νυκτός τε καὶ Ἤματός εἰσι κελεύθων, καί σφας ὑπέρθυρον ἀμφὶς ἔχει καὶ λάινος οὐδός· αὐταὶ δ' αἰθέριαι π λ ῆ ν-*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

*τ α ι μεγάλοισι θυρέτροις· τῶν δὲ Δίκη πολύποινος ἔχει κληῖδας ἀμοιβούς* 12.1 *αἱ γὰρ στεινότεραι π λ ῆ ν τ ο πυρὸς ἀκρήτοιο, αἱ δ' ἐπὶ ταῖς νυκτός, μετὰ δὲ φλογὸς ἵεται αἶσα· ἐν δὲ μέσῳ τούτων δαίμων ἣ πάντα κυβερνᾷ* Δημόκριτος 254 *οἱ κακοὶ ἰόντες ἐς τὰς τιμὰς ὁκόσῳ ἂν μᾶλλον ἀνάξιοι ἐόντες ἴωσι, τοσούτῳ μᾶλλον ἀνακηδέες γίγνονται καὶ ἀφροσύνης καὶ θράσεος π ί μ π λ α ν τ α ι.*

**πίνειν.** Πίνω, drink, Ξενοφάνης 1.17-19 *οὐχ ὕβρις π ί ν ε ι ν ὁπόσον κεν ἔχων ἀφίκοιο οἴκαδ' ἄνευ προπόλου μὴ πάνυ γηραλέος. ἀνδρῶν δ' αἰνεῖν τοῦτον ὃς ἐσθλὰ π ι ὼ ν ἀναφαίνει* 22.3 *π ί ν ο ν τ α γλυκὺν οἶνον* Ἵππων 1 *τὰ γὰρ ὕδατα π ι ν ό μ ε ν α πάντα ἐκ τῆς θαλάσσης ἐστίν· οὐ γὰρ δή που τὰ φρέατα βαθύτερα ἢ ἡ θάλασσά ἐστιν ἐξ ὧν π ί ν ο μ ε ν* Δημόκριτος 235.5 *ὁκόσον ἂν χρόνον ἐσθίωσιν ἢ π ί ν ω σ ι ν, αἱ δὲ λῦπαι πολλαί.*

**πίπτειν.** Πέφτω, fall, Ἐμπεδοκλῆς 100.13 *ἀλλά μιν εἴργει ἀέρος ὄγκος ἔσωθε π ε σ ὼ ν ἐπὶ τρήματα πυκνὰ* 104 *ἀραιότατα ξυνέκυρσε π ε σ ό ν τ α* 133.3 *οὐκ ἔστιν πελάσασθαι ἐν ὀφθαλμοῖσιν ἐφικτὸν ἡμετέροις ἢ χερσὶ λαβεῖν, ᾗπέρ τε μεγίστη πειθοῦς ἀνθρώποισιν ἁμαξιτὸς εἰς φρένα π ί π τ ε ι.* || (τά) **πεσόντα.** Πυθαγόρειοι C 3 (DK I 463,13) *τὰ δὲ π ε σ ό ν τ α μὴ ἀναιρεῖσθαι,* ὑπὲρ τοῦ ἐθίζεσθαι μὴ ἀκολάστως ἐσθίειν.

**πιστεύειν 1.** Πιστεύω/ἔχω ἐμπιστοσύνη, believe/trust, Δημόκριτος 67 *μὴ πᾶσιν, ἀλλὰ τοῖς δοκίμοισι π ι σ τ ε ύ ε ι ν* **2.** Πιστεύω/εἶμαι πεπεισμένος, believe/be confident, Ἀρχύτας 3.12 *π ι σ τ ε ύ ο ν τ ε ς ἀμφότεροι διὰ τούτω τὸ ἴσον ἕξειν.*

**πίστις** (ἀντίθ. *ἀπιστίη*) **1.** Γνώση, knowledge, Παρμενίδης 1.30 *χρεὼ δέ σε πάντα πυθέσθαι ... βροτῶν δόξας, ταῖς οὐκ ἔνι π ί σ τ ι ς ἀληθής* 8.12-28 *οὐδέ ποτ' ἐκ μὴ ἐόντος ἐφήσει π ί σ τ ι ο ς ἰσχὺς γίγνεσθαί τι παρ' αὐτό ... ἀπῶσε δὲ π ί σ τ ι ς ἀληθής* Ἐμπεδοκλῆς 71.1 *εἰ δέ τί σοι περὶ τῶνδε λιπόξυλος ἔπλετο π ί σ τ ι ς.* || Φιλόλαος A 13 (DK I 402,12) *Π ί σ τ ι ς* γε μὴν καλεῖται (sc. ἡ δεκάς), ὅτι κατὰ τὸν Φιλόλαον δεκάδι καὶ τοῖς αὐτῆς μορίοις περὶ τῶν ὄντων οὐ παρέργως καταλαμβανομένοις *π ί σ τ ι ν* βεβαίαν ἔχομεν **2.** Ἐμπιστοσύνη, trust, Ἐμπεδοκλῆς 3.10-13 *μήτε*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ